# 24 IANUARIE

# PARACLISUL SF.CUVIOASE XENIA GRIGORIEVNA DE LA ST.PETERSBURG

## PARACLISIER-GR


·СТ·БЛАЖЕННАЯ·
ѮЕНІЯ
ПЕТЕРБУРГСКАЯ

# 24 ΙΑΝΟΥΑΡΙΟΣ ΞΕΝΗ ΟΣΙΑ ΣΑΛΛΗ ΡΩΣΣΙΔΑ ΠΑΡΑΚΛΗΣΙΣ

*(Γερασίμου μοναχοῦ Μικραγιαννανίτου)*

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικὴν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καὶ εὐθύς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

Στίχ. β’. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς μετασχοῦσα τῆς χαρᾶς τοῦ Κυρίου, καὶ θεουμένη ἐν μεθέξει ἀΰλῳ, διὰ παντὸς ἱκέτευε δεόμεθα, ὅπως λυτρωθείημεν, πειρασμῶν καὶ κινδύνων, Ξένη παμμακάριστε, καὶ δεινῶν συμπτωμάτων, οἱ προσιόντες πίστει ἀκλινεῖ, τῇ θερμοτάτῃ, πρεσβείᾳ σου πάνσεμνε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Ξένων κινδύνων, Ξένη, μὲ ῥύου. Γερασίμου.*

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Ξενίζεις τῇ ξένῃ σου βιοτῇ, Ξένη θεοφόρε, τὰς καρδίας τῶν εὐσεβῶν· διὸ ξένον δεῖξόν με Ὁσία, πολυειδῶν συμφορῶν καὶ κακώσεων.

Ἐλέους δυσώπει τὸν χορηγόν, Ξένη θεοφόρε, ἐλέῆσαί μου τὴν ψυχήν, καὶ ἔλεος θεῖον καταπέμψαι, τοῖς προσιοῦσι τῇ θείᾳ πρεσβείᾳ σου.

Ναμάτων τρυφῶσα τῶν θεϊκῶν, ὄμβρησόν μοι Μῆτερ, τὸν τῆς χάριτος γλυκασμόν, ὡς ἂν τὸν ἰὸν τῆς ἁμαρτίας, καὶ τῶν παθῶν τὴν πικρίαν ἐκκρούσωμαι.

*Θεοτοκίον.*

Ὡς τέξασα Κόρη τὸν Ποιητήν, λυτρούμενον κόσμον, καταδίκης τῆς τοῦ Ἀδάμ, λύτρωσαι ψυχήν μου τὴν ἀθλίαν, τῆς τῶν παθῶν συνοχῆς καὶ κακώσεως.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Νεκρωθεῖσα τῷ κόσμῳ ἐν τῷ Χριστῷ ἔζησας, Ξένη τῇ ἁγίᾳ ζωῇ σου· ὅθεν θανάτωσον, τὴν ἐν καρδίᾳ μου, ζῶσαν δεινὴν ἁμαρτίαν, καὶ τὸν νοῦν μου τείχισον, φόβῳ τῷ κρείττονι.

Κινδυνεύοντας Μῆτερ καὶ χαλεπῶς πάσχοντας, τῆς τῶν πειρασμῶν καταιγίδι, καὶ περιστάσεων, θᾶττον ἐκλύτρωσαι, τῆς ἐπελθούσης ἀνάγκης, Ξένη παναοίδιμε, ἡμᾶς δεόμεθα.

Ἰησοῦν τὸν Σωτῆρα καὶ τοῦ παντὸς Κύριον, Ξένη μακαρία δυσώπει, δοῦναι δεόμεθα, πταισμάτων

ἄφεσιν, καὶ ἱλασμὸν καὶ εἰρήνην, τοῖς πιστῶς προστρέχουσι, τῇ προστασίᾳ σου.

*Θεοτοκίον.*

Δυναστείας με ῥῦσαι τοῦ πονηροῦ ἄχραντε, δι' ἧς τὴν ψυχήν μου μολύνει, λόγοις καὶ πράξεσι, καὶ καθοδήγει με, πρὸς μετανοίας εἰσόδους, ὅπως εἰσελεύσομαι, ζωὴν εἰς ἄληκτον.

Διάσωσον, τῇ πρὸς Θεόν σου πρεσβείᾳ Ὁσία Ξένη, ψυχοφθόρων ἐπιφορῶν τε καὶ θλίψεων, τοὺς τὸν ξενότροπον βίον σου εὐφημοῦντας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Τὴν ξένην ζωὴν ξενοπρεπῶς ἀνύσασα, χαρίτων πολλῶν, παρὰ Χριστοῦ ἠξίωσαι, δι' ὧν Ξένη θεόληπτε, πειρασμῶν καὶ κινδύνων ἀπάλλαττε, τοὺς ἐξαιτοῦντας τὴν σὴν ἀρωγήν, καὶ μέλποντας Μῆτερ τοὺς ἀγῶνάς σου.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ὑπὲρ πάντων ἱκέτευε, Ξένη θεοφόρε Χριστὸν τὸν εὔσπλαγχνον, τὰς ψυχὰς ἡμῶν ἰάσασθαι, ἃς ἡ ἁμαρτία ἐτραυμάτισε.

Νοσημάτων τὴν ἴασιν, καὶ παθῶν παντοίων τὴν ἀπολύτρωσιν, καὶ πταισμάτων τὴν συγχώρησιν, Ξένη ἡμῖν αἴτει δυσωποῦμέν σε.

Ὡς μωρίαν ἐπίπλαστον, Μῆτερ ὑπελθοῦσα νοῒ θεόφρονι, οὕτως μώρανον καὶ σύντριψον, καθ' ἡμῶν ἰσχὺν τὴν τοῦ ἀλάστορος.

*Θεοτοκίον.*

Νεκρωθέντα τοῖς πάθεσι, ζώωσον με Κόρη καθικετεύω Σε, ἡ ζωὴν τὴν ἐνυπόστατον, τὸν Χριστὸν τεκοῦσα μετὰ σώματος.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ξένωσον ἡμᾶς, ἐννοιῶν τῶν τοῦ ἀλάστορος, καὶ οἰκείωσαι τῷ φόβῳ τοῦ Θεοῦ, τὰς καρδίας ἡμῶν Ξένη θεοδόξαστε.

Ἔχουσα πολλήν, παῤῥησίαν πρὸς τὸν Κύριον, Ὃν ἐδόξασας τῷ βίῳ σου σεμνή, μὴ ἐλλίπῃς ἐκπληροῦν ἡμῶν πᾶν αἴτημα.

Νόμῳ τοῦ Θεοῦ, πολιτεύεσθαι ἐνίσχυσον, ἐν ἀγάπῃ καὶ πολλῇ ὑπομονῇ, Μῆτερ Ξένη τοὺς προστρέχοντας τῇ σκεπῃ Σου.

*Θεοτοκίον.*

Ηὔγασας ἡμῖν, φῶς ἀνέσπερον τῷ τόκῳ Σου, φωτοτόκε Θεοτόκε Μαριάμ· διὸ σκέδασον νοός μου τὴν σκοτόμαιναν.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Μεγίστους, ἀγῶνας γνώμῃ τελείᾳ, διανύσασα πλαστῇ ἐν μωρίᾳ, μεγάλων πόνων καὶ θλίψεων ῥῦσαι, τοὺς μεγαλύνοντας Μῆτερ τὸν βίον σου, οἷα μεγάλων δωρεῶν, καὶ θαυμάτων τυχοῦσα θεόπνευστε.

Ἐδέξω, παρὰ Χριστοῦ Μῆτερ Ξένη, τὴν πλουσίαν δωρεὰν τῶν θαυμάτων· ὅθεν ἀεί, ὁ σὸς τάφος βλυστάνει, ψυχῶν ὁμοῦ καὶ σωμάτων ἰάματα· διὸ θεράπευσον κἀμέ, τὸν νοσοῦντα κατ’ ἄμφω θεόληπτε.

Ῥυσθῆναι, πάσης φθορᾶς με Ὁσία, ἐννοιῶν τε καὶ παθῶν ἀκαθάρτων, ἰσχύν μου δίδου τῇ σῇ ἀντιλήψει, ὡς ἂν ἐν γήρατι βίον ἐνάρετον, ζήσω καὶ τύχω τῆς ζωῆς, τῆς ἀλήκτου Χριστοῦ ἀγαθότητι.

*Θεοτοκίον.*

Ὑψίστου, ὁ ὑψηλότατος θρόνος, Θεοτόκε ἀειπάρθενε Κόρη, ἁμαρτωλῶν, σωτηρία βεβαία, ἐκ κατωτάτου με λάκκου ἀνύψωσον, ἁμαρτιῶν τε καὶ παθῶν, πρὸς γνησίαν μετάνοιαν δέομαι.

Διάσωσον, τῇ πρὸς Θεόν σου πρεσβείᾳ Ὁσία Ξένη, ψυχοφθόρων ἐπιφορῶν τε καὶ θλίψεων, τοὺς τὸν ξενότροπον βίον σου εὐφημοῦντας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Τῷ ξενοτρόπῳ σου βίῳ ἐδόξασας, τὸν τὰ κρυπτὰ ἡμῶν βλέποντα Κύριον· διό σε πλουσίοις χαρίσμασιν, ὁ Ζωοδότης Ὁσία ἠμείψατο, Ὃν αἴτει ὑπὲρ τῶν τιμώντων σε.

Προκείμενον: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ είσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Στ.: *Καὶ ἕστησεν έπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον
(κεφ. κε΄. 1- 13)

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ Βασιλεία τῶν ούρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αύτῶν, ἐξῆλθον είς άπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αύτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί. Αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, ούκ ἔλαβον μεθ᾽ ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον έν τοῖς άγγείοις αύτῶν μετὰ τῶν λαμπάδων αύτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου ένύσταξαν πᾶσαι καὶ έκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδού, ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε είς άπάντησιν αύτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι έκεῖναι καὶ έκόσμησαν τὰς λαμπάδας αύτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν έκ τοῦ έλαίου ὑμῶν, ὅτι

αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· Μήποτε οὐκ ἀρκέσῃ ἧμῖν καὶ ὑμῖν. Πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Δόξα: *Ταῖς τῆς Σῆς Ὁσίας...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ξένη παμμακάριστε, Ῥωσίας ἄνθος εὐῶδες, ἀρετῶν κειμήλιον, καὶ σκεῦος πολύτιμον θείας χάριτος, ἐκτενῶς πρέσβευε, τῷ Χριστῷ Ὁσία, πάσης ῥύεσθαι κακώσεως, καὶ περιστάσεως, καὶ δυσπραγιῶν τε καὶ θλίψεων, τοὺς πόθῳ καταφεύγοντας, τῇ σῇ ἀντιλήψει καὶ χάριτι, ἡμῖν αἰτουμένη, τῶν θείων οἰκτιρμῶν τὴν δωρεάν, καὶ τῶν πταισμάτων τὴν ἄφεσιν, καὶ τὸ θεῖον ἔλεος.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Οἱ τῷ τάφῳ σου Μῆτερ προσιόντες ἐν πίστει χάριν λαμβάνουσι· διὸ καὶ ἡμῖν δίδου, ψυχῶν τε

καὶ σωμάτων, θεραπείαν τοῖς κράζουσι· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὑπερήφανον ὄφιν καθ’ ἡμῶν ἐπαιρόμενον Ξένη σύντριψον, καὶ πᾶσαν εὐπραξίαν, καὶ σταθηρὰν εἰρήνην, τοῖς κραυγάζουσι αἴτησαι· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Γεωργεῖν θείῳ φόβῳ ἀρετῶν θεοφόρε τὰ θεῖα σπέρματα, ἰσχὺν ὑψόθεν δίδου, καὶ δύναμιν ἐν πᾶσιν, ὁμοφώνως τοῖς ψάλλουσιν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Ἐκ πικρᾶς συνηθείας πρὸς τὰ χείρω Παρθένε τὸν νοῦν μου ἕλκυσον, φωτὶ τῆς μετανοίας, Αὐτὸν φωταγωγοῦσα, ἵνα πίστει κραυγάζω Σοι· χαῖρε λαμπὰς παμφαής, τοῦ ἀνεσπέρου φέγγους.

## *ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ῥῶσιν παράσχου, τῇ ἀσθενούσῃ ψυχῇ μου, καὶ τοῦ σώματος θεράπευσον τὸ ἄλγος, τῇ σῇ θεοσδότῳ, χάριτι μακαρία.

Ἅγιον βίον, ἐν ἐπιπλάστῳ μωρίᾳ, ὡς διέδραμες ἡμῶν καθαγιάζεις, Ξένη τὰς ἐννοίας, ξένῃ ἐπισκιάσει.

Σκέπε Ὁσία, πειρατηρίων παντοίων, τοὺς τὴν θείαν σου βοήθειαν αἰτοῦντας, ἄφεσιν πταισμάτων, ἡμῖν ἐξαιτουμένη.

### *Θεοτοκίον.*

Ἰσχύν μοι δίδου, καταπατεῖν τοῦ δολίου, τὴν ὀλέθριον δύναμιν Θεοτόκε, ἵνα Σὲ δοξάζω, τὴν κεχαριτωμένην.

### *Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Μανίας τοῦ βελίαρ, ἀσινεῖς συντήρει, καὶ πολυπλόκων σκανδάλων ἀπάλλαττε, τοὺς σὲ γεραίροντας Ξένη ἀειμακάριστε.

Ὁ τάφος σου πηγάζει, πᾶσι τὰς ἰάσεις, ἡμῖν δὲ νῦν ἡ πρεσβεία σου γένοιτο, πηγὴ χαρᾶς οὐρανίου Ξένη θεόπνευστε.

Ὑδάτων ψυχοτρόφων, ἐκ πηγῶν ἀΰλων, βλύσον σταγόνα κἀμοὶ τὴν σωτήριον, Ξένη Ὁσία δροσίζουσαν τὴν καρδίαν μου.

### *Θεοτοκίον.*

Ὑμνοῦμεν Θεοτόκε, τὸν φρικτόν Σου τόκον, δι᾽ οὗ φθορᾶς καὶ θανάτου ἐῤῥύσθημεν. Σὺ γὰρ ἐκύησας Κόρη ζωῆς τὸν πρύτανιν.

### *Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις τῶν Ὁσίων ὁ κοινωνός· χαίροις ἡ μωρία, ἐπιπλάστῳ τὸν πονηρόν, Ξένη καθελοῦσα, καὶ ξένων χαρισμάτων, παρὰ Χριστοῦ τυχοῦσα, στεῤῥῶς βιώσασα.

Ὕλην ἀποῤῥίψασα γεηράν, ἀπεδύσω Μῆτερ, πρὸς ἀγῶνας πνευματικούς, οὓς καὶ διανοίᾳ, διήνυσας τελείᾳ, ἐν μέσῳ κόσμου Ξένη, λαμπρῶς ἀσκήσασα.

Χαίροις τὴν ἀκήρατον νῦν χαράν, Ξένη πανολβία, ἐν σκηνώμασιν οὐρανῶν· ὅθεν πάσης λύπης, καὶ πάσης ἀθυμίας, μὴ παύσῃ λυτρουμένη ἡμᾶς δεόμεθα.

Ἤνυσας ὡς ἄσαρκος ἐν σαρκί, τὸν μέγα ἀγῶνα, ἐν τῷ κόσμῳ καρτερικῶς· ὅθεν οὐρανίων, ἐπάθλων ἠξιώθης, ἡμῖν αἰτοῦσα Ξένη, πταισμάτων ἄφεσιν.

Βρύει σου ὁ τάφος θείᾳ ῥοπῇ, ἰάματα πλεῖστα, τοῖς προστρέχουσιν εὐλαβῶς· ὅθεν κἀμὲ Μῆτερ, ἴασαι ἀσθενοῦντα, κατὰ ψυχὴν καὶ σῶμα, πταισμάτων ἕλκεσιν.

Ἔχουσα μεγίστην πρὸς τὸν Χριστόν, Μῆτερ παῤῥησίαν, καθικέτευε ἐκτενῶς, ῥύεσθαι κινδύνω, καὶ πάσης δεινῆς βλάβης, ὦ Ξένη μακαρία, ἡμᾶς δεόμεθα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Ξένην, διανύσασα ζωήν, ἔρωτι Χριστοῦ τετρωμένη, θαυμάτων εἴληφας, χάριν τὴν

θεόσδοτον, Ξένη πανεύφημε, καὶ παρέχεις τοῖς χρήζουσι, τῆς σῆς προστασίας, θᾶττον τὴν βοήθειαν, δυνάμει κρείττονι· ὅθεν σοῦ δεόμεθα πλήρου, πάντων τὰ αἰτήματα Μῆτερ, τῶν εἰλικρινῶς μακαριζόντων σε.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*